τῆς ἀκολάστου δημοκρατίας, ἣ καὶ τὴν παλιντοκίαν
ἐποίησε καὶ τὴν ἱεροσυλίαν, ἐπορεύετο θεωρία Πελο-
ποννησίων εἰς Δελφοὺς διὰ τῆς Μεγαρικῆς καὶ κατηλί-
F σθησαν ἐν Αἰγείροις παρὰ τὴν λίμνην μετὰ παίδων καὶ
γυναικῶν ὡς ἔτυχεν ἐν ταῖς ἁμάξαις. τῶν δὲ Μεγαρέων
οἱ θρασύτατοι μεθυσθέντες, ὕβρει καὶ ὠμότητι τὰς
ἁμάξας ἀνακυλίσαντες εἰς τὴν λίμνην ἐνεώσαντο, ὥστε
πολλοὺς ἀποπνιγῆναι τῶν θεωρῶν. οἱ μὲν οὖν Μεγαρεῖς
δι' ἀταξίαν τῆς πολιτείας ἠμέλησαν τοῦ ἀδικήματος, οἱ
δ' Ἀμφικτύονες, ἱερᾶς τῆς θεωρίας οὔσης, ἐπιστρα-
φέντες τοὺς μὲν φυγῇ τοὺς δὲ θανάτῳ τῶν ἐναγῶν ἐζη-
μίωσαν. οἱ δ' ἀπὸ τοῦ γένους 'ἁμαξοκυλισταί' προσ-
ηγορεύθησαν.